UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

# Paraphrasis Psalmorvm Davidis Poetica

Buchanan, George

Argentorati, M. D. LXVIII.

VD16 B 3125

ΕΡΡΙΚΟΥ ΣΤΕΦΑΝΟΥ εἰς τὸμ αυτόμ

urn:nbn:de:hbz:466:1-69145

Visual Library

## ΕΡΡΙΚΟΥ ΣΤΕΦΑΝΟΥ

εἰς τὸν αὐτόν.

Πατρὶς μέν σ' ἔτεκεν, μοῦσαν δ' ἣ σὺ πατρίδι τίκ-
Τῇ γενετὴν δώσει ἀντιδοὺς γενετήν. (κτεις

### ΤΟΥ ΑΥΤΟΥ εἰς τὸν αὐτόν.

Ηγαγέ σε προφόωσδε πάτρη, ἣν νῦν σὺ φαείνεις·
Ως σοι ἔδωκε φάος, καὶ φάος ἀντέλαβεν.

### ΤΟΥ ΑΥΤΟΥ εἰς τὸν αὐτόν.

Καλλιόπη τί σὺ τόσσον ὀδύσσαο Κελτίδι γαίῃ,
Καί χθονὶ Γερμανικῇ, Αυσονικῷ τε πέδῳ,
Ως τε Καληδονίων μεταναστρία ἴχνεα θεῖναι
Οὔδει, πάγχυ μάλα πρίν ποτε βαρβαρικῷ;
Ιλαθι Καλλιόπη, ἐπανέρχεο ἢ μετανάσται
Εἰς τὸ Καληδονίων οὖδας ἅμ' ἑψόμεθα.

### ΤΟΥ ΑΥΤΟΥ εἰς τὸν αὐτόν.

Τίπτε Καληδονίων Μοῦσαι προβεβούλατε οὖδας;
Πῶς τὸ πρὶν ἔχθιστον, φίλτατον ὔμμι πέλει;
Εἰς Ελικῶνα θεαὶ ἐπανήκεται. ἤγε καλεῖσθε
Οὐχ Ελικώνι' ἐμοί, ἀλλὰ Καληδόνιαι.

### ΤΟΥ ΑΥΤΟΥ εἰς τὸν αὐτόν.

Φασὶ Καληδονίης μοῖραν τινα τὸ πρὶν ἐπῳδῶν
Ιστορα πολλάων καὶ κακότεχνον ἔμεν.

Θαῦ=

Οὕνεκεν εὐπρεπίη γεραρὴ καὶ κῦδος ἀγητὸν
Καὶ σέβας ἔπλετό τοι περιώσιον, ἐξ ἔτι κείνου
Ἐξ ὅτε δὴ τὰ πρῶτά σε γείνατο πότνια μήτηρ,
Ὡς ὁπότ᾽ εἰαρινῇ περ ἀγάλλεται ἦμαρ ἐέρσῃ.
Σοὶ θεὸς ἐξερέει, καὶ ἐπὶ μέγαν ὅρκον ὀμεῖται,
Ἀμφότερον, βασιλεύς τ᾽ ἀρητήρ τ᾽ ἔσσεαι οἶος
Ἤματα πάνθ᾽, ἱερεὺς κατὰ τάξιν μελχισεδίκου.
Ὡς θεὸς ἐξερέει, τὸ δὲ καὶ τετελεσμένον ἔσται.
Τοῖο γὰρ οὐδὲν ἔπος παλινάγρετον οὐδ᾽ ἀπατηλόν.
Θάρσει· αἰεὶ γάρ σε πατὴρ θεὸς ἀμφιβέβηκεν·
Ὃς καὶ διαρραίσει ἰφθίμας καρήατ᾽ ἀνάκτων,
Καὶ σφῶν οὐτιδανὸν θήσει κράτος ἤματι κείνῳ
Ὁππότε χωσάμενος μῆνιν στονόεσσαν ὀφέλλῃ.
Χριστὸς νῦν πάντεσσι μετ᾽ ἔθνεσιν ἔκδικος ἔσται
Τοῖσι θεμιστεύων· νεκύεσσιν δ᾽ εὐρεῖα χθὼν
Στεινομένη πλήσει, ὅτ᾽ ἀγακλειτοὺς βασιλῆας
Τοὺς πρότερον πολέεσσιν ἀνάσσοντας κεραΐξει.
Ἔνθ᾽ ὅγε νικήσας φεύγοντά θ᾽ ὅμιλον ὀπάζων
Δηΐων, χειμάρρου καθ᾽ ὁδὸν πίε τ᾽ ἐκβροτόεντος
Τόσσον ἄρ᾽ ἔσσεται αἷμα δαϊκταμένων ἀπὸ λα-
ῶν·
Τοὔνεκα καὶ κεφαλὴν ὑψώσει κύδεϊ γαίων.

## ΨΑΛΜΟΣ ΕΚΑΤΟΣΤΟΣ ΕΝ νεακαιδέκατος, ὑπὸ Φεδερίκου Ἰαμωτίου μεταφρασθείς.

Οτε δυσμενῶν φάλαγγες
Επικερτομοῦσι γλώσσαις,
Δαπέθυμά μοι λέγουσαι,
Τότ' ἐγὼ θεὸν βοῶμαι,
Ος ἐμοῦ πρόφρων ἀκούει,
Ος ἐμοὶ πρόφρων βοηθεῖ.
Βιοτὴν ἐμὴν ἄπειργε,
Βιοτὴν, ἄναξ, ἄφελκε
Στομάτων βαρυπνεόντων,
Φιλοκερτόμων τε λαιμῶν.
Τί κακηγόρος σ' ὀνήσει
Φιλολοίδορός τε γλῶσσα,
Κρατερωτέρη μὲν ἰοῦ,
Μαλερωτέρη δὲ πυρσοῦ;
Αγαν, ὦ τάλας, συνοικῶ
Πολεμοτροφοῦσιν ἐχθροῖς.
Στυγέω μάχην φιλοῦντας,
Φιλέω μάχην στυγοῦντας·
Μιαρώτατοι δὲ ἄνδρες,
Φιλίην ὅταν λαλήσω,

Πολέ-

Πολέμων, φόνων πνέουσι,
Προκαλούμενοι μ' ὀλέθρῳ.

## ΨΑΛΜΟΣ ΕΚΑΤΟΣΤΟΣ ΕΙΚΟΣΤΟΣ ἕβδομος, ὑπὸ ΦΛΩΡΕΝΤΙΟΥ ΧΡΙΣΤΙΑΝΟΥ ἑρμηνευθείς.

Στροφή.

Μεγάρων θεμέθλοις ὅς τις ἀγλαὸν
Ἐλπεται νεοπήκτοις
Θεοῖό γε κορυφὰν ἄτερ θέμεν,
Οὐ πώποτ' ἔργον οἱ περαίνεται,
Ἀτὰρ ἐλπίδων ἀλᾶται, καὶ ἄκραντος
Κρηπὶς ματᾷ, ὅτ' ἄγρυπνος νυκτίπλαγκτον
Φρουρὰν αὐτὸς πόλεως
Ἀμφέπει, θείας ἀμελῶν
Παλάμας. οὐδὲν δ' ὄφελος
Κἂν σύ γε πρῶτον ματεύος
Εὐφρόνης ἵκηαι ἐπ' ὄρ-

Ἀντιστροφή.

θρον, ἀκρέσπερος ἢ 'πιβὰς λεχῶν
Κοιτάδων μικρὰ κνώσσης.
Τί δ' ἐμπεδόπονον αὐτλέων βίον
Ἐσθίεις λυγροῖσιν ἄρτον ἐν δύαις;
Ῥέα γὰρ θεὸς νύκτι δῶτορ ἐάων

Παντ' ὄλβον, ἰὼν κ' ἐθέλησιν, παιδὶ φίλῳ.
Ἐν ὀνείροις χαρίσε-
ται, τόγ' οὐδ' ἤλπιζες ὄναρ.
Τί γὰρ ἄλλο χρῆμα βροτοῖς
Φίλτερον ἢ τέκνων φίλων;
Τοῦτο τέλος γαστρὶ μόνος

Ἐπῳδός.

Εὔκαρπον ἔδωκε θεός.
Οἷα δ' ἡ καρτερόγυιος χεὶρ βελέμνοις
Εὐστόχοις ὁπλίζεται, ὡς νεότης
Εὐσεβὴς παίδων, πατέρας
Τέρπει. οὐ γὰρ φίλτερόν τι
Πατρὶ καλῶν ἐκγόνων.
Ὦ τρὶς εὐδαίμων φαρέτρην
Ἰοδόκον φορέων
Βελέων τῶνδε τοῖος δ' ὄλβιος
Οὔποτ' ἐν δικασπολί-
αις κατ' αἰσχυνθήσεταί γε

## ΨΑΛΜΟΣ ΕΚΑΤΟΣΤΟΣ ΕΙ-
κοστὸς ὄγδοος, ὑπὸ Φεδερίκου Ἰαμωτίου
μεθερμηνευθείς.

Ναὶ μάκαρ ὅστις ἄνακτος ἐφημοσύναις ὁδὸν ἔρ'
Δειμαίνῃ θ' ἅμα τῆνον, ὑπερβασίας τ' ἀλεείνῃ (πᾶ-
Ὦ θνατῶν μακάριστε, τεῶν ἐπεὶ ἔδατα χειρῶν

Θαῦμά μ' ἔχει, ᾠδαῖς πῶς ἀντήλλαξεν ἐπῳδάς.
Τοῦτ' ἄπορόν μοι ἐὸν νῦν λύε Καλλιόπη.
Παύσοφε Καλλιόπη σὺ δ' ὁμῶς ἀποροῦσα σιωπᾷς;
Σῆς κρεῖττον σοφίης παύσοφε τοῦτο πέλει;
Μή ποτε σὰς ᾠδὰς ἰδίαις κατέθελξεν ἐπῳδαῖς,
Ιυγγός τε κακῇ δῆσεν ἀλυκτοπέδῃ;
Θάῤῥει Καλλιόπην θελκτήρια μείζονα οἶδας.
Μεῖναν ἀοιδαὶ σαί, αἱ δ' ἐπῳδαὶ ἔβαν.

## ΤΟΥ ΑΥΤΟΥ εἰς τὸν αὐτόν.

Μισήσασα θεὰ σὴν πατρίδα πῶς φιλεῖ ὧδε
Αντὶ δὲ μισήτρων φίλτρα πατρὶς τίν' ἔχει;
Σὴ πάτρη Βυκχναῦε τεῷ ἐχρήσατο φίλτρῳ.
Τούτῳ θελγομένην ἤγαγε Καλλιόπην.
Αλλὰ τίς ἣν φίλτρου χρεὼ πρὸς σε φιλοῦσαν ἐκεί-
Μᾶλλον σοὶ φίλτρον αὐτὴ ὄπασε θεά. (νην;

## ΤΟΥ ΑΥΤΟΥ εἰς τὸν αὐτόν.

Σοὶ ζωὴν ἔπορεν πάτρη, πόρες οὔνομα πάτρῃ·
Οὔνομα νῦν παρὰ σοῦ καὶ κλέος ἐσθλὸν ἔχει.
Αλλὰ πόρε ζωὴν μινυώριον οὔνομα δῶκας
Ο ζῇ, ζῆσε πάρος, ζήσεται ἀθάνατον.